N. 255

# ΑΝΑΠΛΗΡΩΣΙΣ

ΤΗΣ ΑΣΜΑΤΙΚΗΣ ΑΚΟΛΟΥΘΙΑΣ

ΤΗΣ ΟΣΙΟΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ

## ΤΟΥ ΧΡΙΣΤΟΥ ΠΑΡΑΣΚΕΥΗΣ.

ΣΥΝΤΑΧΘΕΙΣΑ

ὑπὸ

ΤΟΥ ΕΝ ΕΥΣΕΒΕΣΙΝ ΕΛΑΧΙΣΤΟΥ

**ΧΑΡΑΛΑΜΠΟΥΣ ΤΡΩΙΑΝΟΥ ΒΑΣΙΛΕΙΑΔΟΥ.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ
Χ8.18(α)

ΕΝ ΚΕΦΑΛΛΗΝΙΑ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Η ΗΧΩ

1876.

Προελομένων πολλῶν πολλαχοῦ Χριστιανῶν ἑορτάζειν τὴν παρθενομάρτυρα τοῦ Χριστοῦ Παρασκευὴν διὰ παννυχίδων, καὶ μὴ ἐχόντων πλήρη τὴν ἐν τοῖς Μηναίοις ἀρχαίαν αὐτῆς ἀκολουθίαν, τούτου χάριν, εὐλαβείᾳ κἀγὼ πρὸς τὴν ἁγίαν κινηθείς, συνέταξα τὴν παροῦσαν ἀναπλήρωσιν τῆς ᾀσματικῆς αὐτῆς ἀκολουθίας, ὅπως οἱ βουλόμενοι ἑορτάζειν, ἔχωσιν ἀκολουθίαν ἁρμοδίαν εἰς Παννυχίδα.

Συνέταξα δὲ καὶ τὸν παρακλητικὸν πρὸς αὐτὴν κανόνα, διὰ τοὺς βουλομένους ψάλλειν αὐτὸν ἐνώπιον τῆς ἁγίας αὐτῆς εἰκόνος.

Ὁ ἐν εὐσεβέσιν ἐλάχιστος,

ΧΑΡΑΛΑΜΠΗΣ ΒΑΣΙΛΕΙΟΥ ΤΡΩΙΑΝΟΣ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



ΜΗΝΙ ΙΟΥΛΙῼ ΚΣΤ΄.

Μνήμην ἐπιτελοῦμεν τῆς Ἁγίας Ὁσιοπαρθενομάρτυρος καὶ ἀθληφόρου τοῦ Χριστοῦ Παρασκευῆς.

Ἑσπέρας. Ἐν τῷ μικρῷ ἑσπερινῷ ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια δ΄. ἦχος ά.

Τῶν οὐρανίων ταγμάτων.

Ἐν τῷ Ναῷ προσελθόντες τῆς Ἀθληφόρου πιστοί, προσπέσωμεν βοῶντες, πρὸς αὐτὴν μετὰ πόθου, ὡς ἔχουσα μεγίστην πρὸς τὸν Θεόν, παῤῥησίαν ἱκέτευε, Παρασκευὴ τοῦ ῥυσθῆναι πάντας ἡμᾶς, ἐκ τῶν παγίδων τοῦ ἀλάστορος.

Τῶν ἀσεβῶν παρατάξεις, καὶ ἐπινοίας σεμνή, γενναίως καθελοῦσα, τῇ ἐξ ὕψους δυνάμει, ἀπείληφας τὴν χάριν παρὰ Χριστοῦ, τῶν θαυμάτων ἀέναον, ὅθεν κινδύνων λυτροῦσαι καὶ πειρασμῶν, Παρασκευὴ τοὺς ἀνυμνοῦντάς σε.

Οὔτε βασάνων τὰ πλήθη, οὔτε πυρὸς ἀπειλαί, οὐκ ἴσχυσαν οὐδόλως τῆς ἀγάπης χωρίσαι, Χριστοῦ τοῦ ζωοδότου σὲ ἀληθῶς, Παρασκευὴ ἀξιάγαστε, ὅθεν τῆς πλάνης τὰ πνεύματα ἀνδρικῶς, σὺ κατῄσχυνας ἀοίδιμε.

Ἀσκητικῶς ἠγωνίσω σεμνὴ τὸ πρότερον, τὸ δεύτερον ἀθλοῦσα, συνετάξω τοῖς ἄνω, χοροῖς τῶν ἀσωμάτων, Παρασκευή, καὶ ἀΰλων Δυνάμεων, σὺν τούτοις οὖν καθικέτευε ἐκτενῶς, τῇ Τριάδι τοῦ σωθῆναι ἡμᾶς.

Δόξα Ἦχος Πλ. β΄.

Σήμερον συγκαλεῖται ἡμᾶς, τῆς ἀθληφόρου ἡ σεβάσμιος πανήγυρις. Δεῦτε οὖν φιλέορτοι, εὐσεβοφρόνως ἑορτάσωμεν τὴν μνήμην αὐτῆς, λέγοντες· χαίροις Παρασκευὴ ἀξιάγαστε, καὶ πάγκαλε νύμφη τοῦ Παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· οὐ τῇ ἀηττήτῳ δυνάμει ῥωσθεῖσα, κατὰ τῆς πλάνης γενναίως παρετάξω· καὶ τοῦτον ἐν παῤῥησίᾳ πολλῇ, Σωτῆρα Θεάνθρωπον

τοῖς ἀνόμοις κηρύξασα, παρ᾽ αὐτοῦ τοὺς στεφάνους τῆς νίκης, ἐν οὐρανοῖς ἀξίως ἐκομίσω, πρεσβεύουσα διηνεκῶς ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων ἀεὶ, τὴν σεβάσμιον μνήμην σου.

Καὶ νῦν.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Εἰς τὸν στίχ. στιχηρὰ ἦχ. β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Δεῦτε τῶν εὐσεβῶν, ὁμήγυρις ἡ θεία, τὴν ἀθληφόρον ὕμνοις, καὶ ἐγκωμίοις ἅμα, ἀξιοχρέως στέψωμεν.

Στίχ. ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Λύκων φθοροποιῶν, τῶν νῦν λυμαινομένων, τὴν ποίμνην σου λαθραίως, ὁσία σαῖς πρεσβείαις, ἐκ τούτων ἐξελοῦ ἡμᾶς.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν.

Χάριν παρὰ Θεοῦ, ἀπείληφας ἀξίως, ἰᾶσθαι πᾶσαν νόσον, Παρασκευὴ τῶν πίστει, καὶ πόθῳ προσιόντων σοι.

Δόξα καὶ νῦν.

Τρισήλιε Θεὲ, Πατὴρ Υἱὸς καὶ Πνεῦμα, λιταῖς τῆς Θεοτόκου, μετὰ τῆς ἀθληφόρου, οἰκτείρησον τοὺς δούλους σου.

Κτλ. τοῦ μικροῦ ἑσπερινοῦ.

---

ΕΝ ΔΕ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

Ἑσπέρας. Εἰς τὸ, Κύριε Ἐκέκραξα, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχ. προσόμοια τοῦ μηναίου τρία, καὶ τὰ τρία ταῦτα.

Ἦχ. ά. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, τοῦ Χριστοῦ ἡ ἀμνὰς, ἐν σταδίῳ χαίρουσα, ἐπέστη, καὶ τὴν δεινὴν τῆς πλάνης ἔλυσε, σκοτόμαιναν ἀληθῶς τῇ τοῦ Χριστοῦ πανοπλίᾳ καὶ χάριτι, καὶ τοῦτον παναληθῆ, Θεὸν τῶν ὅλων τρανῶς ἀνεκήρυξε, καὶ τὰ τῶν ἀνόμων πλήθη, πρὸς αὐτοῦ ἐπίγνωσιν, καὶ λατρείαν προσῆξεν, ἀληθῆ τε καὶ σωτήριον.



Σθένει τοῦ Χριστοῦ Πανεύφημε, ἀσεβῶν ἁπάσας ἐπινοίας ἔλυσας· εἰδώλων πλάνην δεινὴν, στεῤῥῶς ἠφάνισας, Διό σου Παρασκευὴ, τὴν μνήμην σήμερον πάντες γεραίροντες, μὴ παύσῃ ὑπὲρ ἡμῶν, καθικετεύειν Κυρίῳ δεόμεθα, ὅπως τῶν δεινῶν ῥυσθῶμεν, οἱ πιστῶς τιμῶντες σε καὶ παντοίας ἐκ βλάβης, τῶν ἐχθρῶν ἀειμακάριστε.

Δεῦρο τῶν πιστῶν ὁ σύλλογος, ἐν τῇ θείᾳ μνήμῃ τῆς πανσέπτου μάρτυρος, εὐφράνθητι μυστικῶς καὶ συνεόρτασον, ἀνακηρύττων λαμπρῶς, τὰ ὑπὲρ φύσιν αὐτῆς κατορθώματα· ἐν γὰρ φρονήσει στεῤῥᾷ, καὶ ἐν ἀνδρείᾳ, ἐχθροὺς κατεπάλαισε· καὶ τὴν τῶν θαυμάτων χάριν, ἀεννάως εἴληφε, τοῖς πιστοῖς χορηγοῦσα, ἐν πρεσβείᾳ μέγα ἔλεος.

Δόξα εἰς τὸ μηναῖον.

Καὶ νῦν Θεοτοκίον ἐκεῖσε.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας κτλ.

Εἰς τὴν λιτὴν ἦχ. ά.

Ἀθλητικὴν Πανήγυριν σήμερον ἐπιτελοῦντες ἀδελφοὶ, εὐφρανθῶμεν ἐνθέως οἱ φιλέορτοι πάντες. Συνεκάλεσε γὰρ ἡμᾶς, Παρασκευὴ ἡ Παρθενομάρτυς, ἐν τῇ θείᾳ μνήμῃ αὐτῆς, μυστικῶς εὐωχηθῆναι, καὶ βοῆσαι τῷ Χριστῷ. Κύριε ὁ ἐνισχύσας αὐτὴν καταπαλαῖσαι τὸν ἀντίπαλον ταῖς αὐτῆς ἱκεσίαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'.

Τῇ φερωνύμῳ σου κλήσει κατάλληλον, ἑπομένη μάρτυς πολύαθλε, κατεποίκιλας σαυτὴν μαρμαρυγαῖς τῶν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἀρετῶν σου, ὁσιότητός τε καὶ ἀθλήσεως. Παρασκευασθεῖσα δὲ νύμφη τοῦ τῶν ὅλων Ποιητοῦ, ὥσπερ προῖκα τοὺς ἄθλους τῷ νυμφίῳ προσήγαγες, διὸ καὶ εἰς νυμφῶνα ἀθάνατον, εἰσήχθης ἐν οὐρανοῖς, μετὰ τῶν φρονίμων παρθένων χυροβατοῦσα. Παρισταμένη σὺν τῷ σῷ νυμφίῳ καὶ Θεῷ, ἱκέτευε ἐκτενῶς, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων ἀεὶ τὴν σεβάσμιον καὶ πανέορτον μνήμην σου.

Ἦχος γ΄.

Ἀληθείας κρατῆρα ἐξ οἰκείων αἱμάτων ἀθλητικῶν, ἡ πανένδοξος μάρτυς Χριστοῦ τοῦ Θεοῦ κερασαμένη, καὶ τοῦτον ἀεννάως τῇ Ἐκκλησίᾳ προτιθεμένη· ἐν αὐτῇ τοὺς τῆς εὐσεβείας τροφίμους, σοφίας φωνῇ, προτρέπεται, λέγουσα· ἀρύσασθαι πόμα τῆς ἀναστάσεως μαρτύριον, παθῶν καθαρτήριον, εὐσεβῶν δὲ ψυχῶν φυλακτήριον, τῷ Σωτῆρι κράζοντες· ὁ ποτίσας ἡμᾶς χειμάρους, τῆς τρυφῆς τοῦ πνεύματος, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δοξα ἦχος δ΄.

Τίς μὴ θαυμάσει, τίς μὴ δοξάσει τῶν θαυμάτων σου τὸ πέλαγος, Παρασκευὴ πανθαύμαστε δαίμονας γὰρ ἐκδιώκεις, καὶ πᾶσαν νόσον ἀπελαύνεις ἐκ τῶν πίστει προσιόντων σοι, ἄπειρα καὶ ἐξαίσια πέλει τὰ σὰ θεῖα τερατουργήματα· μέγα δέ σου καὶ τὸ ὄνομα πάσῃ τῇ οἰκουμένῃ δοξαζόμενον· ὃ καὶ ἐκ πίςεως ἐπικαλούμενον, ἀπαλλάτει πάσης θλίψεως, τοὺς εὐλαβῶς αὐτὸ ἐπικαλουμένους· καὶ δωρεῖται ἡμῖν διὰ σοῦ ὁ Θεὸς τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ἐκ παντοίων κινδύνων.

Εἰς τὸν στιχ. στιχηρὰ προσόμοια, τοῦ Μηναίου καὶ τλ. ὡς ἐκεῖσε.

---

Ἐν τῷ Ὄρθρῳ. Καθ. ά. καὶ β΄. ἐκ τοῦ Μηναίου.

Μετὰ τὸν Πολυέλαιον Καθ. Ἦχ. δ΄.

Ταχὺ προκατάλαβε.



Ἡ μνήμη σου ἔνδοξε, μάρτυς πολύαθλε, συνήθροισε σήμερον τοὺς φιλεόρτους ἡμᾶς, πρὸς ὕμνον ἑόρτιον, ᾄσμασιν ἐπαξίοις εὐφημεῖν σε θεόφρων· Χριστὸν γὰρ τὸν Σωτῆρα, ἀνεκήρυξας πᾶσιν· αὐτὸν διηνεκῶς ἱκετεύουσα, ὑπὲρ τῶν ὑμνούντων σε.

Δόξα καὶ νῦν, Θεοτοκίον.

Ταχὺ δέξαι Δέσποινα.

Οἱ ἀναβαθμοί. Προκείμενον. Πᾶσα πνοή. Ὁ Ν΄. Δόξα. Ταῖς τῆς Ἀθληφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου, καὶ τὸ Τροπάριον. Ἦχ. β΄.

Ἀναστὰς ὁ Ἰησοῦς.

Ἀθληφόρε τοῦ Χριστοῦ, Παρασκευὴ Καλλονὴ μαρτύρων, δώρησαι ἡμῖν, τῶν δεινῶν ἀπαλλαγὴν, ταῖς ἱκεσίαις σου.

Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ. Οἱ Κανόνες ἐκ τοῦ Μηναίου καὶ τὰ ἐπίλοιπα μέχρι τοῦ Ὄρθρου καὶ τῆς Λειτουργίας.

---

## ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΗΝ
## Παρθενομάρτυρα τοῦ Χριστοῦ Παρασκευή.

Εὐλογήσαντος τοῦ Ἱερέως, ἀρχόμεθα τοῦ, Κύριε εἰσάκουσον τῆς προσευχῆς μου. Εἶτα τὸ Θεὸς Κύριος, τετράκις, καὶ τὸ παρὸν τροπάριον εἰς ἦχ. δ΄.

Τῇ Θεοτόκῳ.

Τῇ ἀθληφόρῳ τοῦ Χριστοῦ προσπελάσωμεν, οἱ ὑπὸ νόσων χαλεπῶν κατεχόμενοι· καὶ πρὸς αὐτὴν βοήσωμεν ἐκ βάθους ψυχῆς· ῥῦσαι ἡμᾶς ἅπαντας ταῖς πρεσβείαις σου μάρτυς, ἐκ τῶν ἀναγκῶν ἡμῶν, καὶ αἱρέσεως πάσης, ὡς παῤῥησίαν ἔχουσα σεμνή, πρὸς τὸν σωτῆρα, Παρασκευὴ ἔνδοξε.

Δόξα καὶ νῦν· τῇ Θεοτόκῳ

Εἶτα τὸν Ν. καὶ μετὰ τοῦτον ἀρχόμεθα τοῦ κανόνος τῆς ἁγίας εἰς ἦχον πλ. δ΄.

Ὠδὴ ά. Ὑγρὰν διοδεύσας.

Πανένδοξε μάρτυς Παρασκευὴ, ψυχῆς μου τὰ πάθη, σῇ πρεσβείᾳ τὰ χαλεπὰ, θεράπευσον, ὅπως σὲ δοξάζω, τὴν Θεοδόξαστον καὶ Καλλιπάρθενον.

Ἁγία τοῦ Θεοῦ.

Παθῶν κατευνάσασα τὰς ὁρμὰς, καὶ τυράννων θράση καθελοῦσα καρτερικῶς Θεόθεν τὴν χάριν ἐκομίσω, τοῦ θεραπεύειν παντοῖα νοσήματα.

Δόξα

Τοὺς δούλους σου πάντας οὓς ἐκ Θεοῦ, μάρτυς ἐπιστεύθης, διαφύλαττε ἀσινεῖς, ἐκ πάσης ἀνάγκης, καὶ κινδύνου, Παρασκευὴ ὀρθοδόξων τὸ καύχημα.

Καὶ νῦν Θεοτόκιον.

Ὑπέραγνε μῆτερ τοῦ Λυτρωτοῦ, μητράνανδρε Κόρη, τῶν Ἀγγέλων ἡ χαρμονὴ, ἱλέωσε σὸν υἱὸν Παρθένε, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων σε.

Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Οὐρανίων θαλάμων ἐπιτυχεῖν ἔσπευσας, ὅθεν πρὸς ἀγῶνας προθύμως μάρτυς ἐχώρησας, καὶ διεσκέδασας τῆς δυσεβείας τὸν γνόφον, καὶ νῦν καθικέτευε ὑπὲρ τῶν δούλων σου.

Χαλεπῶν ἐκ κινδύνων καὶ πειρασμῶν λύτρωσαι, πάντας τοὺς ἐκ πόθου καρδίας προσπεφευγότας σοι, καὶ αἰτουμένους σοι σεμνὴ, ἄμαχον σὴν προστασίαν, Παρασκευὴ ἔνδοξε, ὅπως σὲ δοξάζομεν.

Συνεχόμενος ὅλως ἐν πειρασμοῖς ἔνδοξε, καὶ στενοχωρίαις παντοίαις, πρὸς σὲ κατέφυγον· καὶ νῦν αἰτοῦμαί σου τὴν κραταιὰν προστασίαν, Παρασκευὴ πάνσεμνε, μὴ οὖν παρόψῃ με.

Θεοτόκιον.

Ἀπειρόγαμε Κόρη τὸν Λυτρωτὴν τέξασα, λύτρωσαι



παντοίων κινδύνων τοὺς ἀνυμνοῦντάς σε· σὺ γὰρ γεγένησαι τοῦ Θεανθρώπου δοχεῖον, καθαρὸν καὶ ἄμωμον Θεοχαρίτωτε.

Διάσωσον σαῖς πρεσβείαις μάρτυς, τοὺς δούλους σου παντὸς κινδύνου, ὅτι πάντες Παρασκευὴ πρὸς σὲ καταφεύγομεν ὡς ἔχουσαν πρὸς Χριστὸν παῤῥησίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ κ.τλ.

Εἶτα, αἴτησις παρὰ τοῦ Ἱερέως ἢ Διακόνου, καὶ ἡ ἐκφώνησις· ὅτι ἐλεήμων καὶ εὐθὺς ψάλλομεν τὸ

Κάθισμα Ἦχ. β΄. Πρεσβεία Θερμή.

Οἱ νόσοις πολλαῖς καὶ θλίψεσι βαρούμενοι, προστρέχομεν σῷ τεμένει Καλλιπάρθενε· ἐκτενῶς βοῶντες σοι. Παρασκευὴ ἁγία Πρόφθασαν, καὶ ἐκ κινδύνων λύτρωσαι ὑμᾶς, ὡς παῤῥησίαν πρὸς Κύριον ἔχουσα.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Τῷ Ναῷ σου προτρέχοντες, μάρτυς καλλιπάρθενε σοῦ δεόμεθα, ἐκ παντίας περιστάσεως, λυτρωθῆναι τάχος τοὺς ἱκέτας σου.

Νῦν ἐκύκλωσαν πάνσεμνε, πάντοθεν τὴν ποίμνην σου αἱρετίζοντες· σὺ ἡμᾶς τούτων ἐξάρπασον, σαῖς πρὸς τὸν Δεσπότην παρακλήσεσι.

Τῆς ψυχῆς μου τὴν πώρωσιν, μάρτυς πανασίδιμε ἐξαφάνισον σαῖς δεήσεσι πρὸς Κύριον, δι᾽ ὃν ἠγωνίσω προθυμότατα.

Θεοτόκιον.

Μητροπάρθενε Δέσποινα, τὸν ἐκ σοῦ τεχθέντα καθικετεύουσα, μὴ ἐλλείπῃς ὑπὲρ δούλων σου, τῶν σὲ ἀνυμνούντων Παναμώμητε.

Ὠδὴ έ. Ἵνα τίμε ἀπώσω.

Ἀθληφόρου τῆς θείας, ταῖς πανευπροσδέκτοις Σῶτερ δεήσεσι, σκότος ἐξωτέρου, καὶ κολάσεως, ῥῦσαι οὓς ἐ-

πλασας, καὶ ἐκ πάσης ἄλλης ἐπιβουλῆς τοῦ ἀλλοτρίου, Ἰησοῦ ὁ Θεὸς ὡς φιλάνθρωπος.

Ὑποστᾶσα γενναίως, μάρτυς τῶν αἰκίσεων ὀδύνην ἄρρητον, οὐκ ἐκάμφθης ὅλως, τοῖς ξοάνοις προσάξαι προσκύνησιν· νῦν δὲ παρεστῶσα, ἐν παρρησίᾳ τῇ Τριάδι, καθικέτευε ὑπὲρ τῶν δούλων σου.

Ἐν κινδύνοις σὲ ῥύστιν ἔχοντες πανένδοξε καθικετεύομεν, πάσης οὖν ἐκ βλάβης τοὺς σοὺς δούλους, ἐκλύτρωσαι τάχιον, ἔχεις γὰρ Ὁσία πρὸς τὸν Δεσπότην, παρρησίαν, ἐκπληροῦν τὰς αἰτήσεις τῶν δούλων σου.

Θεοτόκιον.

Παναγία Παρθένε, λόγον τὸν πανάγιον ἀποκυήσασα πρόφθασον καὶ ῥῦσαι, σὸν λαὸν δολερῶς πολεμούμενον. Σὺ γὰρ Θεοτόκε, τῇ μητρικῇ σου παρρησίᾳ, ὅσα θέλεις ἀνύεις ἑκάστοτε.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Μεγαλομάρτυς σοφή, Παρασκευὴ καλλιπάρθενε, τὸν τῆς ἐμῆς σκοτασμὸν, ἐν τάχει διάλυσον, ψυχῆς, καὶ ἀξίωσον καθαρῶς λατρεύειν, τῷ Χριστῷ τῇ μεσιτείᾳ σου.

Κατεύνασον τῶν παθῶν, τὰς καταιγίδας πολύαθλε, καὶ παῦσον τὸν καθ' ἡμῶν κινούμενον κλύδωνα, ἐχθρῶν τῶν τῆς πίστεως, καὶ γαλήνην δίδου, τοῖς ἐκ πόθου εὐφημοῦσι σε.

Κατὰ παθῶν καὶ ἐχθρῶν, τὴν ἐξουσίαν ἀπείληφας, παρὰ Χριστοῦ τοῦ Θεοῦ, ἀξίως τῶν πόνων σου· διὸ ἡμᾶς φύλαττε, ἀμφοτέρων βλάβης, τῇ πρεσβείᾳ σου πανεύφημε.

Θεοτόκιον.

Μαρία τὸ καθαρὸν, καὶ φωτοφόρον παλάτιον, τοῦ Βασιλέως Χριστοῦ, τοῦ πάντα ἰσχύοντος, ἐνίσχυσον ἄχραντε, κἀμὲ τὸν ἀχρεῖον, τούτου πράττειν τὰ θελήματα.



Διάσωσον ταῖς πρεσβείαι κ.τ.λ. ἴδε εἰς τὴν γ΄. ᾠδὴν ἡ αἴτησις, ἡ ἐκφώνησις, καὶ εὐθὺς τὸ Κοντάκιον τῆς Ἁγίας, οἱ ἀναβαθμοὶ ἦχ. δ΄. τὸ προκείμενον.

Ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ.

Στ. εἰσάκουσον Κύριε τῆς φωνῆς μου εἰς ἐκέκραξα πρὸς σὲ ἐλέησόν με, καὶ εἰσάκουσόν μου.

Εἶτα ὁ Ἱερεὺς ἢ ὁ Διάκονος. Τοῦ Κυρίου Δεηθῶμεν. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύει. Τὸ, πᾶσα πνοὴ καὶ τὸ Εὐαγγέλιον.

Δόξα ταῖς τῆς ἀθληφόρου.

Καὶ νῦν ταῖς τῆς Θεοτόκου.

Στίχ. ἐλέησόν με ὁ Θεὸς, καὶ τὸ τροπάριον μετὰ τὸν Ν. ἐν τῷ ὄρθρῳ.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου κ.τ.λ.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Τὸ Στάδιον διῆλθες τοῦ σεπτοῦ μαρτυρίου Παρασκευὴ ἀνδρικῶς, καὶ εἴληφας τὴν χάριν, ἰᾶσθαι πᾶσαν νόσον, τῶν βοών των ἑκάστοτε· ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Οἱ νόσοις καὶ κινδύνοις, συνεχόμενοι πάντες πιστοὶ συνδράμωμεν, ναῷ τῆς ἀθληφόρου, αἰτούμενοι τὴν λύσιν τῶν δεινῶν ἀνακράζοντες· ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Μεγίστην ἐξουσίαν, κατ' ἐχθρῶν ἐκομίσω παρὰ Χριστοῦ τοῦ Θεοῦ· μὴ παύσῃ οὖν πρεσβεύειν, ὑπὲρ ἡμῶν ὁσία, τῶν πιστῶς κραυγαζόντων σοι· ταῖς σαῖς πρεσβείαις ῥῦσαι ὑμᾶς κινδύνων.

Θεοτόκιον.

Βαράθρων ἀπωλείας, καὶ κακῶν ἀνοδίας ἡμᾶς ἐξάγαγε, ἡ μόνη τὸν Σωτῆρα κυήσασα ἀφράστως, τοὺς ἐν πίστει σοι κράζοντας· χαῖρε Παρθένε Ἁγνὴ, πιστῶν ἡ σωτηρία.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΚΑΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Τῆς Ἀθληφόρου ταῖς εὐπροσδέκτοις πρεσβείαις ὁ Θεὸς μὴ παρόψῃ σοὺς δούλους, ἀλλ' ἀντιλαβοῦ ἡμῶν, καὶ ῥῦσαι τῶν κινδύνων.

Ἀπὸ παντοίων πειρατηρίων καὶ νόσων, ἐξελοῦ σοὺς ἱκέτας Ὁσίᾳ, πίστει συνελθόντας τῷ θείῳ σου τεμένει.

Παρασκευὴ καλλιπάρθενε μάρτυς, δυσωποῦσα τὸν Σωτῆρα μὴ παύσῃ κακῶν μοι λύσιν δοῦναι, καὶ ἄφεσιν πταισμάτων.

Θεοτοκίον.

Θεοκυῆτορ καὶ πανακήρατε Κόρη, τὸν ἐκ σοῦ σαρκωθέντα δυσώπει, ῥυσθῆναι τὸν λαόν σου ἐκ πάσης ἐπηρείας.

Ὠδὴ θ΄. Κυρίως Θεοτοκίον.

Ἀχλύος, τῶν παθῶν με, καὶ τῆς καταιγίδος, Παρασκευὴ συμφορῶν ἐλευθέρωσον, ὅπως ἀπαύστως δοξάζω, τὸν σὲ δοξάσαντα.

Μεγίστην ἐξουσίαν, Θεόθεν κεκτημένη,, σοὺς ὑμνητὰς ἐξ ἐχθίστων ἐξάρπασον, Παρασκευὴ τῶν πιστῶν ἐγκαλλώπισμα.

Ἀπὸ τῶν κυκλωσάντων ἡμᾶς κακοδοξούντων, καὶ πάσης ἄλλης ὀργῆς ἐλευθέρωσον, ταῖς σαῖς λιταῖς, πρὸς Θεὸν πανάοιδημε.

Θεοτοκίον.

Κυρίως Θεοτόκον καὶ γλώσσῃ καὶ καρδίᾳ, ὁμολογοῦμέν σε Πάναγνε Δέσποινα, οἱ διὰ σοῦ σεσωσμένοι Θεοχαρίτωτε.

Καὶ εὐθὺς τό,

Ἄξιον ἐστίν. κτλ. ὡς σύνηθες. Τὸ Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστὶν, καὶ τὰ ἐξαποστολάρια τῆς Ἁγίας. Αἱ συνήθεις αἰτήσεις παρὰ τοῦ Ἱερέως ἢ Διακόνου, ἡ ἐκφώνησις κτλ. Ἀπόλυσις.